Ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισιν δόξαι φέρου-
σαι χάριν ματαίαν. ἀντ. β΄.
Μάταν γὰρ εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾷν
Παραλλάξασα διὰ χερῶν βέβακεν ὄψις
Οὐ μεθύστερον πτεροῦσσ' ὀπαδὸς ὕπνου κελεύθοις.
Τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
Τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα.
Τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις
πένθεια τηξικάρδιος
Δόμων ἑκάστου πρέπει.
Πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
Οὓς μὲν γάρ παρέπεμψ' οὐκ εἶδεν· ἀντὶ δὲ φωτῶν
Τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται.
Ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων καὶ ταλαν-
τοῦχος ἐν μάχῃ δορὸς στρ. γ΄.
Πυρωθὲν ἐξ Ἰλίου φίλοισι πέμπει βαρὺ ψῆγμα δυς-
δάκρυτον ἀντήνορος σποδοῦ
Γεμίζων τοὺς λέβητας εὐθέτους· στένουσι δ' εὖ λέγον-
τες ἄνδρα τὸν μὲν ὡς μάχης ἴδρις,
Τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ' ἀλλοτρίας διαὶ γυναικός.
Τάδε σῖγά τις βαΰζει.
Φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις.
Οἱ δ' αὐτοῦ περὶ τεῖχος
Θήκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν· ἐχ-
θρὰ δ' ἔχοντας ἔκρυψεν.
Βαρεῖα δ' ἀστῶν φάτις ξὺν κότῳ· δημοκράν-
του δ' ἀρᾶς τίνει χρέος. ἀντ. γ΄.
Μένει δ' ἀκοῦσαί τί μου μέριμνα νυκτηρεφές. τῶν πολυ-
κτόνων γὰρ οὐκ ἄσκοποι θεοί.

---

345. v. πάρεισι — f. δόκαι 347. χειρῶν 348. οὐ om. — MSS. πτεροῖς ὀπαδοῖς (πτεροστὶς ὀπαδὸς) 349. f. ἀφ' ἐστ. (f. ἐφεστίους) 350. (ὑπεβλητώτερα) 351. f. Ἕλληνος (str. σιγᾶς) v. τλησικάρδιος 352. δόμοις 354. MSS. v. οὓς μὲν γὰρ ἔπεμψεν οἶδεν 355. MSS. τοὺς δομ. εἰςαφικν. = τοὺς om. 357. f. βραχὺ — (ἀντήνοχος) 358. f. γεμίζον — v. εὐθέτου 359. MSS. διὰ 361. v. προδίκοισιν — f. Ἀτρείδαις (362) οὐκ αὐτ. — (363) ἐμμόρως κατέχουσιν· 363. εὐμόρφως — ἐχθρῶν — (ἑλόντας) 364. MSS. δημοκράτου f. δημοκράντοις